22 σουσιν αὐτά. [22]καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν, καὶ
μιανοῦσιν τὴν ἐπισκοπήν μου καὶ εἰσελεύσονται εἰς αὐτὰ ἀφυλάκ-
23 τως καὶ βεβηλώσουσιν αὐτά· [23]καὶ ποιήσουσι φυρμόν, διότι ἡ γῆ
24 πλήρης λαῶν, καὶ ἡ πόλις πλήρης ἀνομίας. [24]καὶ ἀποστρέψω τὸ
25 φρύαγμα τῆς ἰσχύος αὐτῶν, καὶ μιανθήσεται τὰ ἅγια αὐτῶν. [25]ἐξι-
26 λασμὸς ἥξει καὶ ζητήσει εἰρήνην, καὶ οὐκ ἔσται. [26]οὐαὶ ἐπὶ οὐαὶ
ἔσται, καὶ ἀγγελία ἐπ᾽ ἀγγελίαν ἔσται, καὶ ζητηθήσεται ὅρασις ἐκ
προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως καὶ βουλὴ ἐκ πρεσβυτέ-
27 ρων. [27]ἄρχων ἐνδύσεται ἀφανισμόν, καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς
γῆς παραλυθήσονται· κατὰ τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς καὶ
ἐν τοῖς κρίμασιν αὐτῶν ἐκδικήσω αὐτούς· καὶ γνώσονται ὅτι ἐγὼ
κύριος.

8 [1]Καὶ ἐγένετο ἐν τῷ ἕκτῳ ἔτει ἐν τῷ πέμπτῳ μηνὶ πέμπτῃ τοῦ
μηνὸς ἐγὼ ἐκαθήμην ἐν τῷ οἴκῳ, καὶ οἱ πρεσβύτεροι Ιουδα ἐκά-
2 θηντο ἐνώπιόν μου, καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου, [2]καὶ εἶδον
καὶ ἰδοὺ ὁμοίωμα ἀνδρός, ἀπὸ τῆς ὀσφύος αὐτοῦ καὶ ἕως κάτω
πῦρ, καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ ὑπεράνω ὡς ὅρασις ἠλέκτρου.
3 [3]καὶ ἐξέτεινεν ὁμοίωμα χειρὸς καὶ ἀνέλαβέν με τῆς κορυφῆς μου,
καὶ ἀνέλαβέν με πνεῦμα ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ
οὐρανοῦ καὶ ἤγαγέν με εἰς Ιερουσαλημ ἐν ὁράσει θεοῦ ἐπὶ τὰ
πρόθυρα τῆς πύλης τῆς ἐσωτέρας τῆς βλεπούσης πρὸς βορρᾶν,
4 οὗ ἦν ἡ στήλη τοῦ κτωμένου. [4]καὶ ἰδοὺ ἐκεῖ ἦν δόξα κυρίου θεοῦ
5 Ισραηλ κατὰ τὴν ὅρασιν, ἣν εἶδον ἐν τῷ πεδίῳ. [5]καὶ εἶπεν πρός
με Υἱὲ ἀνθρώπου, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου πρὸς βορρᾶν·
καὶ ἀνέβλεψα τοῖς ὀφθαλμοῖς μου πρὸς βορρᾶν, καὶ ἰδοὺ ἀπὸ βορρᾶ
6 ἐπὶ τὴν πύλην τὴν πρὸς ἀνατολάς. [6]καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώ-
που, ἑώρακας τί οὗτοι ποιοῦσιν; ἀνομίας μεγάλας ποιοῦσιν ὧδε
τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων μου· καὶ ἔτι ὄψει ἀνομίας μείζονας.
7 8 [7]καὶ εἰσήγαγέν με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς [8]καὶ εἶπεν πρός με
9 Υἱὲ ἀνθρώπου, ὄρυξον· καὶ ὤρυξα, καὶ ἰδοὺ θύρα μία. [9]καὶ εἶπεν
πρός με Εἴσελθε καὶ ἰδὲ τὰς ἀνομίας, ἃς οὗτοι ποιοῦσιν ὧδε·

24 init. B†] pr. και αξω πονηρους εθνων και κληρονομησουσιν τους οικους αυτων rel. (in *O* sub ※) || 25 ειρηνην] pr. εις A || 27 init. B†] pr. ο βασιλευς πενθησει και ο rel. (ο βασ. πενθ. in *O* sub ※) | εν Bpau.] > rel.

8 1 εγω > A | κυριου Bpau.] pr. αδωναι rel.: cf. 5 5 || 2 υπερανω] pr. τα A*, + αυτου ABc | ορασις B†] + αυρας ως ειδος A, + ※φεγγους ως ειδος του *O* || 3 ανα μεσον του > B*† | της paenult. ⌒ ult. B† | προς] εις B† || 5 την ult.] της B†, + βλεπουσαν A | fin. B†] + ※του θυσιαστηριου (+ ου Q) η εικων του ζηλους τουτου εν τω εισπορευεσθαι αυτην *O*: eadem ante την ult. add. A (A*† add. σε post εισπορ.) || 6 ποιουσιν 2⁰ B†] pr. ας ο οικος ισραηλ rel. (in *O* sub ※) | ανομ. ult.] αμαρτιας A† || 7 fin. B†] + και ειδον και ιδου οπη μια εν τω τοιχω rel. (in *O* sub ※) || 8 ορυξον Bpau.] + δη εν τω τοιχω rel. (in *O* sub ※) | μια > B† || 9 ανομ. B†] + τας πονηρας rel. (in *O* sub ※) | fin.] + σημερον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/784 UNIVERSITÄT LEIPZIG